**Ερωτική ποίηση στον «κύκλο του Αγαθία» (εποχή Ιουστιανιανού = 6ος αι.)**

(έκδ. Beckby)

**Ι. Ιουλιανός από υπάτων**

Ἱμερτὴ Μαρίη μεγαλίζεται· ἀλλὰ μετέλθοις
  κείνης, πότνα Δίκη, κόμπον ἀγηνορίης·
μὴ θανάτῳ, βασίλεια· τὸ δ᾽ ἔμπαλιν, ἐς τρίχας ἥξοι
  γήραος, ἐς ῥυτίδας σκληρὸν ἵκοιτο ῥέθος·
τίσειαν πολιαὶ τάδε δάκρυα· κάλλος ὑπόσχοι
  ψυχῆς ἀμπλακίην, αἴτιον ἀμπλακίης.

**ΙΙ. Λεόντιος ο σχολαστικός**

*Εἰς εἰκόνα ὀρχηστρίδος*

Μουσάων δεκάτη, Χαρίτων Ῥοδόκλεια τετάρτη,
  τερπωλὴ μερόπων, ἄστεος ἀγλαΐη,
ὄμμα δέ οἱ καὶ ταρσὰ ποδήνεμα καὶ σοφὰ χειρῶν
  δάκτυλα καὶ Μουσῶν κρέσσονα καὶ Χαρίτων.

**ΙΙΙ. Αγαθίας ο σχολαστικός**

1.

Εἰμὶ μὲν οὐ φιλόοινος· ὅταν δ᾽ ἐθέλῃς με μεθύσσαι,
  πρῶτα σὺ γευομένη πρόσφερε καὶ δέχομαι.
Εἰ γὰρ ἐπιψαύσεις τοῖς χείλεσιν, οὐκέτι νήφειν
  εὐμαρὲς οὐδὲ φυγεῖν τὸν γλυκὺν οἰνοχόον·
πορθμεύει γὰρ ἔμοιγε παρὰ σοῦ τὸ φίλημα
  καί μοι ἀπαγγέλλει τὴν χάριν, ἣν ἔλαβεν.

2.

*Εἰς Ἀριάδνην τραγῳδὸν καὶ κιθαριστρίδα*

Εἴ ποτε κιθάρης ἐπαφήσατο πλῆκτρον ἑλοῦσα
κούρη, Τερψιχόρης ἀντεμέλιζε μίτοις·
εἴ ποτε δὲ τραγικῷ ῥοιζήματι ῥήξατο φωνήν,
αὐτῆς Μελπομένης βόμβον ἀπεπλάσατο.
Εἰ δὲ καὶ ἀγλαΐης κρίσις ἵστατο μᾶλλον ἂν αὐτὴ
Κύπρις ἐνικήθη, κἂν ἐδίκαζε Πάρις.
Σιγῇ ἐφ᾽ ἡμείων, ἵνα μὴ Διόνυσος ἀκούσας
τῶν Ἀριαδνείων ζῆλον ἔχοι λεχέων.

**IV Μακηδόνιος ὕπατος**

*Ἐπὶ γυναικὶ παλιμβούλῳ*

«Αὔριον ἀθρήσω σε». Τὸ δ᾽ οὔ ποτε γίνεται ἡμῖν,
ἠθάδος ἀμβολίης αἰὲν ἀεξομένης.
Ταῦτά μοι ἱμείροντι χαρίζεαι· ἄλλα δ᾽ ἐς ἄλλους
δῶρα φέρεις, ἐμέθεν πίστιν ἀπειπαμένη.
«Ὄψομαι ἑσπερίη σε». Τί δ᾽ ἕσπερός ἐστι γυναικῶν;
γῆρας ἀμετρήτῳ πληθόμενον ῥυτίδι.